# ΗΛΕΚΤΡΑ

## ΥΠΟΘΕΣΙΣ ΗΛΕΚΤΡΑΣ

Ὑπόκειται ὧδε· τροφεὺς δεικνὺς τῷ Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, φοβουμένη μὴ καὶ αὐτὸν φονεύσωσι σὺν τῷ πατρί. ἔπεμψε δὲ αὐτὸν εἰς Φωκίδα εἰς τὸν τοῦ πατρὸς αὐτοῦ [. . . ἐπὶ Ἀναξιβίαν ἀδελφὴν αὐτοῦ] ἐξάδελφον Στροφίον.

## ΚΑΙ ΑΛΛΩΣ

Τροφεύς ἐστιν ὁ προλογίζων πρεσβύτης παιδαγωγὸς ὁ ὑποκείμενος καὶ ὑπεκθέμενος τὸν Ὀρέστην εἰς τὴν Φωκίδα πρὸς Στροφίον καὶ ὑποδεικνὺς αὐτῷ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν κλέψας ἐκ τοῦ Ἄργους ὁ παιδαγωγὸς ἔφυγεν καὶ διὰ εἴκοσι ἐτῶν ἐπανελθὼν εἰς τὸ Ἄργος μετ' αὐτοῦ δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

Argumentum habent L A rec 2 ὄντα αὐτὸν A rec 3 φοβουμένη] δείσασα A rec φονεύσωσι] κτείνωσιν A rec σὺν τῷ πατρί om. A rec 3–5 ἔπεμψε . . . στρόφιον (sic) solus habet Vindob 6 καὶ ἄλλως om. L A rec 7–10 τροφεύς . . . ἔφυγεν om. A rec : cetera habent A rec sed paullum immutata 8 στροφίον L Lb : στρόφιον rec 12–13 ἡ σκηνὴ . . . Ὀρέστου habent A rec : om. L rec

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417021852/87 UNIVERSITÄT LEIPZIG